# 1. Samuel 18

Septuaginta (LXX)

**6** καὶ ἐξῆλθον αἱ χορεύουσαι εἰς συνάντησιν δαυιδ ἐκ πασῶν πόλεων ισραηλ ἐν τυμπάνοις καὶ ἐν χαρμοσύνῃ καὶ ἐν κυμβάλοις

**7** καὶ ἐξῆρχον αἱ γυναῖκες καὶ ἔλεγον ἐπάταξεν σαουλ ἐν χιλιάσιν αὐτοῦ καὶ δαυιδ ἐν μυριάσιν αὐτοῦ

**8** καὶ πονηρὸν ἐφάνη τὸ ῥῆμα ἐν ὀφθαλμοῖς σαουλ περὶ τοῦ λόγου τούτου καὶ εἶπεν τῷ δαυιδ ἔδωκαν τὰς μυριάδας καὶ ἐμοὶ ἔδωκαν τὰς χιλιάδας

**9** καὶ ἦν σαουλ ὑποβλεπόμενος τὸν δαυιδ ἀπὸ τῆς ἡμέρας ἐκείνης καὶ ἐπέκεινα

**12** καὶ ἐφοβήθη σαουλ ἀπὸ προσώπου δαυιδ

**13** καὶ ἀπέστησεν αὐτὸν ἀπ' αὐτοῦ καὶ κατέστησεν αὐτὸν ἑαυτῷ χιλίαρχον καὶ ἐξεπορεύετο καὶ εἰσεπορεύετο ἔμπροσθεν τοῦ λαοῦ

**14** καὶ ἦν δαυιδ ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ συνίων καὶ κύριος μετ' αὐτοῦ

**15** καὶ εἶδεν σαουλ ὡς αὐτὸς συνίει σφόδρα καὶ εὐλαβεῖτο ἀπὸ προσώπου αὐτοῦ

**16** καὶ πᾶς ισραηλ καὶ ιουδας ἠγάπα τὸν δαυιδ ὅτι αὐτὸς ἐξεπορεύετο καὶ εἰσεπορεύετο πρὸ προσώπου τοῦ λαοῦ

**20** καὶ ἠγάπησεν μελχολ ἡ θυγάτηρ σαουλ τὸν δαυιδ καὶ ἀπηγγέλη σαουλ καὶ ηὐθύνθη ἐν ὀφθαλμοῖς αὐτοῦ

**21** καὶ εἶπεν σαουλ δώσω αὐτὴν αὐτῷ καὶ ἔσται αὐτῷ εἰς σκάνδαλον καὶ ἦν ἐπὶ σαουλ χεὶρ ἀλλοφύλων

**22** καὶ ἐνετείλατο σαουλ τοῖς παισὶν αὐτοῦ λέγων λαλήσατε ὑμεῖς λάθρᾳ τῷ δαυιδ λέγοντες ἰδοὺ ὁ βασιλεὺς θέλει ἐν σοί καὶ πάντες οἱ παῖδες αὐτοῦ ἀγαπῶσίν σε καὶ σὺ ἐπιγάμβρευσον τῷ βασιλεῖ

**23** καὶ ἐλάλησαν οἱ παῖδες σαουλ εἰς τὰ ὦτα δαυιδ τὰ ῥήματα ταῦτα καὶ εἶπεν δαυιδ εἰ κοῦφον ἐν ὀφθαλμοῖς ὑμῶν ἐπιγαμβρεῦσαι βασιλεῖ κἀγὼ ἀνὴρ ταπεινὸς καὶ οὐχὶ ἔνδοξος

**24** καὶ ἀπήγγειλαν οἱ παῖδες σαουλ αὐτῷ κατὰ τὰ ῥήματα ταῦτα ἃ ἐλάλησεν δαυιδ

**25** καὶ εἶπεν σαουλ τάδε ἐρεῖτε τῷ δαυιδ οὐ βούλεται ὁ βασιλεὺς ἐν δόματι ἀλλ' ἢ ἐν ἑκατὸν ἀκροβυστίαις ἀλλοφύλων ἐκδικῆσαι εἰς ἐχθροὺς τοῦ βασιλέως καὶ σαουλ ἐλογίσατο αὐτὸν ἐμβαλεῖν εἰς χεῖρας τῶν ἀλλοφύλων

**26** καὶ ἀπαγγέλλουσιν οἱ παῖδες σαουλ τῷ δαυιδ τὰ ῥήματα ταῦτα καὶ εὐθύνθη ὁ λόγος ἐν ὀφθαλμοῖς δαυιδ ἐπιγαμβρεῦσαι τῷ βασιλεῖ

**27** καὶ ἀνέστη δαυιδ καὶ ἐπορεύθη αὐτὸς καὶ οἱ ἄνδρες αὐτοῦ καὶ ἐπάταξεν ἐν τοῖς ἀλλοφύλοις ἑκατὸν ἄνδρας καὶ ἀνήνεγκεν τὰς ἀκροβυστίας αὐτῶν τῷ βασιλεῖ καὶ ἐπιγαμβρεύεται τῷ βασιλεῖ καὶ δίδωσιν αὐτῷ τὴν μελχολ θυγατέρα αὐτοῦ αὐτῷ εἰς γυναῖκα


Druckausgabe erzeugt am 14.06.2025 auf bibelkommentare.de

**28** καὶ εἶδεν σαουλ ὅτι κύριος μετὰ δαυιδ καὶ πᾶς ισραηλ ἠγάπα αὐτόν

**29** καὶ προσέθετο εὐλαβεῖσθαι ἀπὸ δαυιδ ἔτι



Druckausgabe erzeugt am 14.06.2025 auf bibelkommentare.de